# I.

## *Πρᾶξις σὺν θεῷ α΄.*

### p. 447a. *Πολέμου καὶ μάχης φασὶ χρῆναι, ὦ Σώκρατες.*

1 περὶ ἀνθρώπων διαλέγονται μὲν ποιηταί, διαλέγονται δὲ καὶ φιλόσοφοι. ἀλλ' ἐπειδὴ διττὸς ὁ ἄνθρωπος, ὁ μὲν κατὰ τὴν ψυχὴν ὁρώμενος, ὁ δὲ κατὰ τὸ φαινόμενον ἀντὶ τοῦ κατὰ τὸ συναμφότερον· οἱ μὲν ποιηταὶ περὶ τοῦ συναμφοτέρου διαλέγονται, οὕτω γοῦν καὶ ὁ ποιητὴς εἰσάγει τὸν Νέστορα λέγοντα, ὅτι

συνεγενόμην τριῶν γενεῶν ἀνθρώποις,

καί φησιν ὅτι

τοῦ καὶ ἀπὸ στόματος μέλιτος γλυκίων ῥέεν αὐδή.

πανταχοῦ τὸ συναμφότερον ἐμφαίνων. οὕτω δὲ καὶ τὴν Ἑλένην ποιεῖ ἐρωτωμένην, τίς ἐστιν ἐκεῖνος, καὶ λέγουσαν, ὅτι ὁ Αἴας ἢ ὁ Μενέλαος. οἱ δὲ φιλόσοφοι τὴν ψυχὴν τὸν ἄνθρωπον λέγουσιν· ἰστέον οὖν, ὅτι εἰσάγουσι πρόσωπα διαλεγόμενα καί, ἐξ ὧν φθέγγονται, τὰς ζωὰς αὐτῶν χαρακτηρίζουσιν· οἷον ὁ Καλλικλῆς φιληδονικοὺς λόγους καταβάλλεται, οὐκοῦν ζωὴν ἔχει, τὸ φιλήδονον πάθος ἀγωνίζεται τοίνυν καὶ ἐκκόπτει τοὺς τοιούτους λόγους. δεῖ γὰρ εἰδέναι, ὅτι τὰ ἠθικὰ παραγγέλματα ὀρθοδοξαστικά εἰσι· τὸ λέγειν ἔθιζε σαυτὸν κρατεῖν θυμοῦ καὶ γονεῖς τίμα. οὐ τούτοις οὖν ἐπαναπαύονται οἱ φιλόσοφοι, ἀλλὰ ταῖς ἀποδείξεσιν. ὁ οὖν Σωκράτης τὰ ῥήματα κρατύνει τά τε τοῦ Καλλικλέους ὑπὲρ τοῦ φιληδόνου καὶ τὰ τοῦ Θρασυμάχου ὑπὲρ τῆς ἀναιδείας καὶ τὰ τῶν ἄλλων· καὶ οὕτως λοιπὸν ἐλέγχει ταῦτα, ἵνα μὴ ἐρήμη ἡ νίκη γένηται.

2 καὶ ταῦτα μὲν οὕτως εἰρήσθω, μετὰ δὲ τὸ ἐπιδείξασθαι

---

8 *Α* 249 sq. 13 *Γ* 167; 225 sq. 21 Carm. aur. 9 25 Plat. reip. I 343b

---

2 mg. παροιμία ἐπὶ τῶν ἔν τινι ὑστεριζόντων λεγομένη πολέμου μεταλαγχάνεις